Ἐπίκουρος, οὔτ' ἀποίου δημιουργὸν ὕλης ἕνα λόγον καὶ μίαν
πρόνοιαν, ὡς οἱ Στωικοί (StVFr. II 1108), περιγινομένην
ἁπάντων καὶ κρατοῦσαν· ἀδύνατον γὰρ ἢ φλαῦρον ὁτιοῦν,
ὅπου πάντων, ἢ χρηστόν, ὅπου μηδενὸς ὁ θεὸς αἴτιος,
ἐγγενέσθαι. ʽπαλίντονος' γάρ ʽἁρμονίη κόσμου, ὅκωσπερ B
λύρης καὶ τόξου' καθ' Ἡράκλειτον (B 51)· καὶ κατ'
Εὐριπίδην (fr. 21)

ʽοὐκ ἂν γένοιτο χωρὶς ἐσθλὰ καὶ κακά,
ἀλλ' ἔστι τις σύγκρασις ὥστ' ἔχειν καλῶς.'

διὸ καὶ παμπάλαιος αὕτη κάτεισιν ἐκ θεολόγων καὶ
νομοθετῶν εἴς τε ποιητὰς καὶ φιλοσόφους δόξα, τὴν
ἀρχὴν ἀδέσποτον ἔχουσα, τὴν δὲ πίστιν ἰσχυρὰν καὶ
δυσεξάλειπτον, οὐκ ἐν λόγοις μόνον οὐδ' ἐν φήμαις, ἀλλ'
ἔν τε τελεταῖς ἔν τε θυσίαις καὶ βαρβάροις καὶ Ἕλλησι
πολλαχοῦ περιφερομένη, ὡς οὔτ' ἄνουν καὶ ἄλογον καὶ
ἀκυβέρνητον αἰωρεῖται τῷ αὐτομάτῳ τὸ πᾶν, οὔθ' εἷς C
ἐστιν ὁ κρατῶν καὶ κατευθύνων ὥσπερ οἴαξιν ἤ τισι
πειθηνίοις χαλινοῖς λόγος, ἀλλὰ πολλὰ καὶ μεμιγμένα
κακοῖς καὶ ἀγαθοῖς μᾶλλον δὲ μηδὲν ὡς ἁπλῶς
εἰπεῖν ἄκρατον ἐνταῦθα τῆς φύσεως φερούσης οὐ δυεῖν
πίθων εἷς ταμίας ὥσπερ νάματα τὰ πράγματα καπη-
λικῶς διανέμων ἀνακεράννυσιν ἡμῖν, ἀλλ' ἀπὸ δυεῖν
ἐναντίων ἀρχῶν καὶ δυεῖν ἀντιπάλων δυνάμεων, τῆς μὲν
ἐπὶ τὰ δεξιὰ καὶ κατ' εὐθεῖαν ὑφηγουμένης, τῆς δ'
ἔμπαλιν ἀναστρεφούσης καὶ ἀνακλώσης ὅ τε βίος μικτὸς
ὅ τε κόσμος, εἰ καὶ μὴ πᾶς, ἀλλ' ὁ περίγειος οὗτος καὶ